καὶ Θουφάνους.] ὡς κόλακα κωμῳδεῖ τοῦτον καὶ ἀπατεῶνα. καὶ τῷ Κλέωνι συνόντα διὰ κολακείαν. ἦν δὲ ὑπογραμματεύς. διαμεμαγμένας δὲ πεφυρμένας.

Bisetus. Θουφάνους] ἀντὶ τοῦ Θεοφάνους κατὰ κρᾶσιν ἀττικήν.

Σχόλια. Καὶ τοὖψον ὀπτόν.] καὶ τὸ ὄψον. ἐκάλουν A δὲ τὸ ἰχθύδιον. τὸ δὲ ἑξῆς μόνον τῷ ἐσθίειν σχόλαζε. τοιαύτην γὰρ ἐγώ σοι ἀφθονίαν παρέξω. Ἀνύσατε νῦν.] ἔργῳ πληρώσατε καὶ μὴ λόγοις μόνοις ἐπαγγέλλεσθε. Τὰς ἡνίας.] τροπικῶς ἀπὸ τῶν ἁρμάτων. ταῖς γὰρ ἡνίαις ἡνιοχοῦνται οἱ ἵπποι. καὶ οἱ δῆμοι διὰ τῶν πολιτευομένων. Τρέχοιμ' ἂν ἤδη.] ἐντεῦθεν ἀπὸ τοῦ τὰς ἡνίας τὸ τρέχοιμ' ἐπήγαγεν. διαβάλλει δὲ πάλιν τοὺς Ἀθηναίους ὡς ἥττονας κέρδους.

B

## ΔΡΑΜΑΤΟΣ ΤΡΙΤΟΥ, Σκηνὴ δευτέρα.

### ΧΟΡΟΣ, ΔΗΜΟΣ.

### ΣΤΡΟΦΗ κώλων ι.

Bisetus. Κλέωνος, καὶ Ἀγορακρίτου ἀπελθόντων ὁ τῶν ἱππέων Χορὸς τῷ δήμῳ δικαίαν μέμψιν μέμφεται, καὶ αὐτοῦ κατηγορεῖ ὅτι διὰ τὴν ἑαυτοῦ ἀκράτειαν, καὶ εὐήθειαν ἑαυτὸν ὑπὸ τῶν πονηρῶν ἀεὶ θωπεύεσθαι, καὶ ἀπατᾶσθαι ἐᾷ. ὁ δὲ δῆμος ὑπισχνεῖται ἑαυτὸν τὸ λοιπὸν πολλῷ φρονιμώτερον ἔσεσθαι.

Χο. Ὦ Δῆμε καλήν γ' ἔχεις
Ἀρχήν, ὅτε πάντες ἄν-
θρωποι δεδίασί σ', ὥ-
σπερ ἄνδρα τύραννον.
Ἀλλ' εὐπαράγωγος εἶ,
Θωπευόμενός τε χαί-
ρεις, κἀξαπατώμενος,
Πρὸς τόν τε λέγοντ' ἀεὶ
Κέχηνας, ὁ νοῦς δέ σου
Παρὼν ἀποδημεῖ.

## ACTVS III. SCENA II.

### CHORVS, POPVLVS.

### STROPHE.

C CH. O Imperium qui habes
*Pulcrum: te homines pople*
*Cuncti metuunt, velut*
*Virum urbe tyrannum hac.*
*At tu facilè potes*
*Falli, facilè capi,*
*Palpúmque sinis tibi*
*Obtrudier, ore hias,*
D *Cum quis loquitur, procul*
*Sed corpore abest mens.*

Σχόλια. Ὦ δῆμε.] διπλῆ καὶ εἴσθεσις καὶ μέλος μονοστροφικὸν ἀμοιβαῖον περιόδων τεσσάρων, ἐναλλὰξ τοῦ χοροῦ ἐν ἐκθέσει. δεκάκωλοι δέ εἰσιν αἱ περίοδοι. ἰωνικὸν δὲ, ἀπὸ μείζονος τὸ μέτρον. ὧν τὰ μὲν ἐστιν ἑφθημιμερῆ. δύο δὲ ἡμιόλια τὸ τέταρτον καὶ τὸ δέκατον. εὕρηται δὲ κατὰ τὴν πρώτην χώραν καὶ παίων ἀντ' ἰωνικοῦ. ἐν δέ τισι καὶ διτρόχαιος. ἐφ' ἑκάστῃ περιόδῳ παράγραφος. ἐπὶ τῷ τέλει τῆς τετάρτης παράγραφος καὶ κορωνίς.

E

## ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙΚΟΠΗΝ κώλων ι.

Δη. Νοῦς οὐκ ἔνι ταῖς κόμαις
Ὑμῶν, ὅτε μ' οὐ φρονεῖν
Νομίζετ', ἐγὼ δ' ἑκὼν
Ταῦτ' ἠλιθιάζω.
Αὐτός τε γὰρ ἥδομαι
Βρύλλων, τὸ καθ' ἡμέραν,
Κλέπτοντά τε βούλομαι
Τρέφειν ἕνα προστάτην.
Τοῦτον δ', ὅταν ᾖ πλέως,
Ἄρας ἐπάταξα.

## SYSTEMA PRIMVM.

PO. Nil mentis inest comis
*Vestris, quia dicitis*
*Me desipere: atqui ego*
*Sic desipio ultrò.*
*Ipsi volupe est mihi*
*Deludier indies,*
F *Furémque lubet dein*
*Præfectum alere unicum: At*
*Plenum volo postea,*
*Suspendere quassum.*

Σχόλια. Νοῦς οὐκ ἔνι ταῖς κόμαις.] οὐδὲ ἐν τῷ ἐγκεφάλῳ ὑμῶν. ὅτι ἐκόμων οἱ ἱππεῖς. ἐγκέφαλος οὐκ ἔστιν ὑμῖν. οὐδὲ ἐστὲ φρενήρεις.

Bisetus. Νοῦς οὐκ ἔνι] ἀντὶ τοῦ οὐκ ἔνεστιν. ὁ G γὰρ ὄχλος ἰσχὺν μὲν, καὶ σθένος ἔχει, νοῦν δ' οὐκ ἔχει.

Σχόλια. Ταῦθ' ἠλιθιάζω.] ἀναισθητῶ. προσποιοῦμαι ἠλίθιος εἶναι, ἀναίσθητοι γὰρ οἱ λίθοι. ἢ ἀντὶ τοῦ ἀνοηταίνω. Βρύλλων.] ἐξαπατώμενος ὑποπίνων καὶ μεθύων. Σύμμαχος δὲ ὑποπίνων ἐκ μιμήσεως τῆς τῶν παίδων φωνῆς.

Bisetus. Σουίδας τούτων μνημονεύων, τὸ βρύλλων ἑρμηνεύει, ὑποπίνων.

Σχόλια. Προστάτην.] τὸν προϊστάμενον τοῦ δήμου. τουτέστι δημαγωγόν. Ὅταν ᾖ πλέως.] φαεινὸς, ἀντὶ τοῦ πλήρης. τουτέστιν, ὅταν ηὐξῆσθαι δοκῇ καὶ μέγας εἶναι. Ἄρας ἐπάταξα.] κατέβαλον. ἐκ μεγάλου καὶ λαμπροῦ ταπεινὸν ἐποίησα. τουτέστιν ἐάσας πλουτῆσαι, ὕστερον πένητα ἐποίησα.